155. JESUS' QUESTION ABOUT THE SON OF DAVID (Matt-Mk Identical)

| Matt 22:41-46 | Mark 12:35-37 |
|---|---|
| *Συνηγμένων δὲ τῶν Φαρισαίων* | |
| *ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς* | *Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς* |
| *42 λέγων,* | *ἔλεγεν διδάσκων ἐν τῷ ἱερῷ,* |
| *Τί ὑμῖν δοκεῖ* | *Πῶς λέγουσιν οἱ γραμματεῖς* |
| *περὶ τοῦ Χριστοῦ* | *ὅτι ὁ Χριστὸς* |
| *τίνος υἱός ἐστιν* | *υἱὸς Δαυίδ ἐστιν* |
| *λέγουσιν αὐτῷ, Τοῦ Δαυίδ.* | |
| *43 λέγει αὐτοῖς,* | |
| *Πῶς οὖν Δαυὶδ* | *36 αὐτὸς Δαυὶδ εἶπεν* |
| *ἐν πνεύματι* | *ἐν τῷ πνεύματι τῷ ἁγίῳ,* |
| *καλεῖ αὐτὸν κύριον λέγων,* | |
| *44 Εἶπεν κύριος τῷ κυρίῳ* | *Εἶπεν κύριος τῷ κυρίῳ* |
| *μου, Κάθου ἐκ δεξιῶν μου* | *μου, Κάθου ἐκ δεξιῶν μου* |
| *ἕως ἂν θῶ τοὺς ἐχθρούς σου* | *ἕως ἂν θῶ τοὺς ἐχθρούς σου* |
| *ὑποκάτω τῶν ποδῶν σου* | *ὑποκάτω τῶν ποδῶν σου.* |
| *45 εἰ οὖν Δαυὶδ* | *37 αὐτὸς Δαυὶδ* |
| *καλεῖ αὐτὸν κύριον,* | *λέγει αὐτὸν κύριον,* |
| *πῶς υἱὸς αὐτοῦ ἐστιν* | *καὶ πόθεν αὐτοῦ ἐστιν υἱός* |
| *46 καὶ οὐδεὶς ἐδύνατο ἀποκριθῆναι αὐτῷ λόγον,* | |
| *οὐδὲ ἐτόλμησέν τις* | |
| *ἀπ ἐκείνης τῆς ἡμέρας* | |
| *ἐπερωτῆσαι αὐτὸν οὐκέτι.* | |
| | *καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.* |

66 words out of 139 words = 44%